# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ

ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΑΘΛΟΦΟΡΟΥ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΚΥΡΙΑΚΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ 7 ΙΟΥΛΙΟΥ


Ἐπιμελείᾳ καὶ ἀναλώμασιν

ΥΙΩΝ Β. Λ. ΠΑΣΧΑ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ΕΝ ΠΑΤΡΑΙΣ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ο ΚΑΔΜΟΣ | ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ Ο ΚΑΔΜΟΣ
Ὁδὸς Παντανάσσης | Β. Δ. γωνία πλατείας Γεωργίου Α΄.

Β. ΣΕΚΟΠΟΥΛΟΥ.

Διευθυνόμενα ὑπὸ

ΑΝΔΡΕΟΥ Β. ΠΑΣΧΑ

1886.

# ΜΝΗΜΗ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΑΘΛΟΦΟΡΟΥ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΚΥΡΙΑΚΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ Ζ΄. ΤΟΥ ΙΟΥΛΙΟΥ ΜΗΝΟΣ

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν προοιμιακὸν, τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στιχ. στ΄. καὶ ψάλλομεν προσόμοια.**

**Ἦχος Β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.**

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ, ἔστης πρὸ βημάτων ἀνδρείως, Χριστὸν κηρύττουσα, σταύρωσιν ἑκούσιον καταδεξάμενον, καὶ δεσμοῖς ὁμιλήσασα, καὶ πάσαις αἰκίαις, χαίρουσα ἀνέδραμες πρὸς τὰ οὐράνια, δήμοις ἀπ᾿ αἰῶνος Μαρτύρων, συναριθμηθεῖσα καὶ δόξης, διαιωνιζούσης ἀπολαύουσα. δίς.

Λόγου τοῦ φανέντος ἐπὶ γῆς, νύμφη ἐκλεκτὴ ἀνεδείχθης, Κυριακὴ ἀληθῶς, κάλλει διαλάμπουσα, ἐνθέων πράξεων, καὶ τῆς θείας ἀθλήσεως, φαιδραῖς ἀγλαΐαις· ὅθεν τὸν οὐράνιον θάλαμον ᾤκησας, ἔνθα, ὡς Παρθένος καὶ Μάρτυς, πάντοτε χορεύουσα πάντων, τῶν μνημονευόντων σου μνημόνευε. δίς.

Ῥίζης εὐκλεοῦς Κυριακή, κλάδος ὡραιότατος ὤφθης, καρπὸν σωτήριον, φέρων τῆς ἀθλήσεως τὰ

κατορθώματα, καὶ μαραίνων ἐν χάριτι, φυτὰ ἀσεβείας· ὅθεν τὴν πανίερον, μνήμην σου σέβομεν, πόθῳ καὶ λειψάνων τὴν θήκην, νῦν περιπτυσσόμεθα χάριν, ἐξ αὐτῆς ἰάσεων λαμβάνοντες.

**Δόξα, ἦχος πλ. β΄.**

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ παρθένος, καὶ ἀθλοφόρος καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα. Εἰς ὀσμὴν μύρου σου ἔδραμον, Χριστὲ ὁ Θεὸς, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με νυμφίε ἐπουράνιε. Αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

**Καὶ νῦν.**

Τὶς μὴ μακαρίσει σε, Παναγία παρθένε, τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον, ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς, ἐκλάμψας υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



**Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, κἀγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, κα οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου



τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Εἰς τὴν λιτήν, ἦχος α'.

Πλουσίοις χαρίσμασιν ὁ Χριστὸς σὲ ἠμείψατο Κυριακὴ πανεύφημε, ὅτι τὸ θράσος τῶν ἀνόμων, ἀνδρειοφρόνως κατέλυσας, καὶ θυσίαν λογικὴν τὸ παρθενικόν σου σῶμα θεῷ προσενήνοχας· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασαμένη, τὴν ψυχήν σου τῷ Θεῷ παρέδωκας, Δαβιτικῶς ἀναβοῶσα, ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου νυμφίε ἐπουράνιε, ἐμοῦ δὲ ἀντελάβου καὶ ἐβεβαίωσάς με, ὡς οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ θεῖά σου θαυμάσια. Ὅθεν αἴτησαι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος α'.

Ὡς ἐν πέτρᾳ στερρᾷ τῆς ὁμολογίας Χριστοῦ

προσερεισθεῖσα Κυριακὴ πανεύφημε, τὸν παλαμναῖον ἐχθρὸν εἰς χάος ἐβύθισας, καὶ στέφος δὲ τῆς νίκης ἐπάξιον ἀπείληφας.

Μετὰ τῶν ἄνω ταγμάτων συνηριθμήθης ἔνδοξε, κόσμον λιποῦσα, καὶ τὸν Χριστὸν ποθήσασα, Κυριακὴ πάνσεμνε, τελοῦσα ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Ὡς ἀλάβαστρον μύρου τὸ αἷμά σου προσενήνοχας τῷ σῷ νυμφίῳ Χριστῷ, Κυριακὴ μάρτυς ἀθλοφόρε ἀήττητε· ἀντάμειψιν δὲ εἴληφας, στέφος ἄφθαρτον παρ' αὐτοῦ ἀξιάγαστε. Ὅθεν καὶ τὸν ἀρχέκακον ἐχθρὸν, ὡραίοις σου ποσὶ κατεπάτησας, τῇ ἐπικλήσει τοῦ σωτηρίου ὀνόματος τοῦ Σωτῆρος Χριστοῦ· διὸ καὶ οὐρανίων θαλάμων ἠξιώθης, ὡς παρθένος καὶ μάρτυς Χριστοῦ πολύαθλε.

Ἦχος γ΄.

Ἀθλητικὴν πανήγυριν πιστοί, θεοφρόνως τελουμένην θεώμενοι, τῷ θαυμαστῷ ἐν βουλαῖς Θεῷ ἡμῶν, εὐχαριστήριον ὕμνον μελῳδήσωμεν, τὸ γὰρ ἀόρατον κράτος τῆς ἐναντίας δυνάμεως, ἐν γυναικείᾳ φύσει κατηγωνίσατο, καὶ τὴν θείαν ἑαυτοῦ δύναμιν ἐν ἀσθενείᾳ τελειώσεως, τῆς καλλιμάρτυρος, ταῖς αὐτῆς πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν.



Ἦχος δ΄.

Δοξάζομέν σου, Χριστέ, τὴν πολλὴν εὐσπλαγχνίαν καὶ τὴν ἀγαθότητα, τὴν εἰς ἡμᾶς γενομένην· ὅτι καὶ γυναῖκες κατήργησαν τὴν πλάνην τῆς εἰδωλομανίας, δυνάμει τοῦ σταυροῦ σου φιλάνθρωπε· τύραννον οὐκ ἐπτοήθησαν· τὸν δόλιον κατεπάτησαν· ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν, εἰς ὀσμὴν μύρου σου ἔδραμον, πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος β΄.

Ὁ παλαιᾶς τῆς πλάνης ἀρχηγέτης πρὸ ποδῶν συντέτριπται, τῆς νύμφης Χριστοῦ Κυριακῆς· ζέσει γὰρ κρατυνομένη τῆς ὀρθοδόξου πίστεως, εἰδώλων σεβάσματα, ὡς ἀσεβῆ διήλεγξε, καὶ τὸν τύραννον ἐχθρόν, ὡς στρουθίον ἐξεμυκτήρισεν· αὐτῆς ταῖς πρεσβείαις Χριστέ, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ Ἅγιος, καθὼς βοᾷ ὁ Προφήτης· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Εἰς τὸν στίχον ἀπόστιχα ἦχος δ΄.
Ἔδωκας σημείωσιν.

Ἄθλησιν ὑπέμεινας τῇ σῇ παλαίστρᾳ κατάλληλον, Κυριακὴ πανεύφημε, παρθενίας ἔνδοξε,

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ...

μαρτυρίου αἷμα συγκεκερασμένη· ὅθεν καὶ στέφανον διπλοῦν, ὁ εὐεργέτης σοι ἐχαρίσατο, πρὸς ὃν καὶ ἀνελήλυθας πεποικιλμένη λαμπρότητι, ὡς παρθένος πανάμωμος, καὶ ὡς μάρτυς ἀήττητος.

Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Κάλλει τῷ τοῦ σώματος, ἡ ὡραιότης ἡ ἔνθεος, τῆς ψυχῆς σου συνέδραμεν· ὡς κρίνον γὰρ ἔλαμψας ἐν μοναῖς ἁγίων, ἐκλελευκασμένη, καὶ ταῖς τοῦ αἵματος ῥοαῖς, πεφοινιγμένη πάνσεμνε, διὸ σὲ καὶ οὐράνιος τερπνὸς ἐδέξατο θάλαμος, καὶ παστὰς ἀκατάλυτος, ὡς παρθένον καὶ μάρτυρα.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Κύκλῳ παρενέλαβε, Κυριακή σε πανεύφημε, ὁ ῥυόμενος ἄγγελλος, ἐκ βρέφους τὸν Κύριον, φοβουμένη ὤφθης, καὶ ἀνακειμένη, ὥσπερ ἀνάθημα τερπνόν, τετηρημένον τῷ παντοκράτορι. Ἐντεῦθεν κατεπάτησας τοῦ Ἱλαριανοῦ τὴν παράνοιαν, καὶ στεφθεῖσα ἀνέδραμες, πρὸς Χριστὸν τὸν νυμφίον σον.

Δόξα, ἦχος πλ. β'.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, παρανομούντων ἐξέφυγες βουλήν, Κυριακὴ πανσεβάσμιε· καὶ ὡς μὲν παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ μάρτυς ἀν-



δρεία, χάριν ἔλαβες, ἀπελαύνειν πᾶσαν νόσον ἐξ ἀνθρώπων. Ἀλλὰ καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐλευθέρωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν.

Θεοτόκε, σὺ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα μετὰ τῆς ἀθλοφόρου καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος δ'. Βασίλειον διάδημα.

Ὡς βρύσις πολύκρουνος παρθενομάρτυς Χριστοῦ, κατήρδευσας πάνσοφε τὴν ἐκκλησίαν αὐτοῦ, καὶ ἤθλησας ἄριστα, ἔσωσας τοὺς ἐν σκότει τῆς εἰδωλομανίας, αἴγλη τῶν σῶν θαυμάτων, Κυριακὴ ἀθλοφόρε· διὸ ἐν παῤῥησίᾳ πρέσβευε σωθῆναι ἡμᾶς.

Καὶ νῦν.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν ὄρθρον. Μετὰ τὴν Α'. στιχ.
Κάθισμα ἦχος δ'.
Ταχὺ προκατάλαβε.

Τὴν μνήμην τελοῦντές σου, Κυριακὴ ἔνδοξε,

τὴν χάριν αἰτούμεθα καὶ τὴν ἀντίληψιν, τὴν σὴν οἱ τιμῶντες σε· ῥῦσαι οὖν ἀθλοφόρε ἐκ παντοίας ἀνάγκης, ἡμᾶς τοὺς ὑμνητάς σου, ταῖς σαῖς ἱκεσίαις, καὶ τῶν πλημμελημάτων δίδου τὴν ἄφεσιν.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν.**

Ἡ μόνη κυήσασα, τὸν ποιητὴν τοῦ παντὸς, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων τοῦ δολίου βελιὰρ, στῆσόν με ἐπὶ πέτραν τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, ὃν ἐσωμάτωσας.

**Εἰς τὴν β΄. στιχ. Κάθισμα ἦχος γ΄,**
**Τὴν ὡραιότητα.**

Ζῆλον ἔνδοθεν ἐν τῇ ψυχῇ σου, ἔχουσα ἔνδοξε, τοὺς ἀνομοῦντας διακενῆς καρτερικῶς διήλεγξας· καὶ ὁμιλήσασα βασάνοις, διήνυσας τὸν σὸν ἀγῶνα γενναίῳ φρονήματι· παρθενομάρτυς Κυριακὴ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Δόξα, τὸ αὐτὸ, καὶ νῦν. Τὴν ὡραιότητα.**

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς, ἐβόα σοι Θεοτόκε. Ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.



**Μετὰ τὸν πολυέλαιον. Ἦχος δ΄.**
**Ταχὺ προκατάλαβε.**

Ἁγνείας στιλπνότητι, κρίνον ὡς εὔοσμον, κοιλάσιν ἐξήνθησας, Κυριακὴ τῷ Χριστῷ, μαρτύρων πανεύφημε· λάμψεσιν ἐφωτίσθης, ἐπιγνώσεως θείας, πλάνης δυσωδεστάτης, ἀπελαύνουσα βλάβην· διὸ καὶ ἑορτάζομεν μάρτυς τὴν μνήμην σου.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν.**

Ταχὺ δέξαι δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάχραντε· λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων· σκέδασον τὰς ἐνέδρας καὶ τὰ θράση παρθένε, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

**Οἱ ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμ.**
**Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.**
**Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.**
**Εὐαγγέλιον μαρτυρικόν· ὁ Ν. Δόξα, ταῖς**
**τῆς Ἀθλοφόρου.**
**Καὶ νῦν· ταῖς τῆς Θεοτόκου,**
**Ἰδιόμελον, ἦχος πλ. β΄.**

Ῥηγνυμένης σαρκὸς, οὐδόλως ἐφρόντισας Παρθενομάρτυς, Κυριακὴ πανένδοξε· ἀλλὰ τραυμάτων, μάστιξί τε καὶ ἄλλοις, προθύμως ἐκδέδωκας διὰ τὴν ἄνω λαμπρότητα. Ὅθεν Χριστὸς ὁ νυμφίος σου καὶ στεφανοθέτης, στεφάνῳ διπλῷ σὲ κατέστεψε, τῆς παρθενίας τε καὶ ἀθλήσεως·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

αὐτὸν οὖν ἱκέτευε, ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης προσβολῆς ἐναντίας, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ. τ. λ.**
**Ὁ κανών. Ὠδὴ ά. ἦχος δ΄.**
**Θαλάσσης τὸ ἐρυθραῖον.**

Ταῖς θείαις τῶν ἀσωμάτων τάξεσι, καὶ νῦν μετ᾿ αὐτῶν χορεύουσα, περὶ τὸν πάντων αἴτιον Χριστὸν, καὶ τρανῶς ἀπολαύουσα, θεαρχικῆς ἐλλάμψεως, τοὺς σὲ ὑμνοῦντας καταφαίδρυνον.

Τὸ θῆλυ, ἀρρενωθὲν τῇ χάριτι, τὴν ἐπηρμένην ὀφρὺν, καὶ καυχωμένην ἄμετρα τὸ πρὶν, θείᾳ δυνάμει καταβέβληκε.

Σταυρῷ σε ἀναρτηθέντα, Δέσποτα, κατανοήσασα ἡ εὐκλεής σου Κυριακὴ, αἰκισμῶν καρτερεῖ τὸ ἐπίπονον, δυναμουμένη σθένει σου, τοῦ τὴν ἡμῶν φύσιν νευρώσαντος.

**Θεοτοκίον.**

Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι, ἐκ θείου πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι᾿ ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

**Ὠδὴ Γ΄. Εὐφραίνεται ἐπὶ σοί.**

Ἀνάψας σου τὴν ψυχὴν, ἔρως ὁ θεῖος, τῆς σαρκὸς ἔρωτα, καὶ χαλεπὰ βράσματα, τὰ τῶν αἰκισμῶν ἐναπέσβεσε.



Ἰσχύϊ παντουργικῇ, τὴν κεφαλὴν τοῦ δυσμενοῦς ἔθλασας, τῆς κεφαλῆς στέργουσα· Κυριακὴ καρτερῶς τὴν ἀφαίρεσιν.

Αἱμάτων σου οἱ κρουνοὶ, τῆς ἀθεΐας τὴν πυρὰν ἔσβεσαν· τοὺς δὲ πιστοὺς ἤρδευσαν, τῆς θεοσεβείας τοῖς νάμασι.

**Θεοτοκίον.**

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, μήτηρ θεοῦ γέγονας, ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

**Κάθισμα· ἦχος πλ. ά. Τὸν συνάναρχον λόγον.**

Τὰς βασάνους γενναίως ἡ ἀθλοφόρος σου, ὑπομείνασα πάσας τὰς τῶν τυράννων, Χριστὲ, κατεπάτησεν ἐχθρὸν τὸν πολυμήχανον, καὶ ἀνεδείχθη ἀληθῶς τροπαιοφόρος κατ᾿ αὐτοῦ καὶ στέφος εἴληφε δόξης, ἐκ σοῦ τοῦ ἀγωνοθέτου· καὶ νῦν πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

**Ὠδὴ Δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.**

Σὲ τὴν ἄσπιλον ἀμνάδα, καθάπερ λύκοι οἱ

δυσμενεῖς σπαράττοντες, Κυριακή, ταῖς αἰκίαις, ἄμωμον ὅλην Θεῷ ἀπετέλεσαν θεῖον ἱερεῖον καὶ σφάγιον.

Τὸν πτερνίσαντα ἀπάτῃ τὴν πρώτην Εὔαν, μαρτυρικαῖς ἐνστάσεσι, τρέψασα καθεῖλες, δείξασα ἀνίσχυρον, Χριστῷ ἀναμέλπουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ καρδία σου τῷ ἔρωτι τοῦ νυμφίου πυρπολουμένη, ἄνθρακας καὶ πλάνην, γενναιόφρων, λύθρῳ ἐναπέσβεσεν αἱμάτων, καὶ θάλασσαν, τῆς πολυθεΐας ἐξήρανεν.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας, ὦ παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. Ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρε σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ Ε΄. Σὺ Κύριέ μου φῶς.

Μῦρον ἐκκενωθέν, τὸν Χριστὸν ἠγάπησας Κυριακὴ ἡ γενναιόφρων· καὶ ἠκολούθησες τούτῳ ἐν ᾄσμασι δοξάζουσα.

Τῷ κάλλει τὴν ψυχὴν τετρωμένη παρέδραμεν, ὦ Δέσποτα, ἡ παρθένος, τὰ ὁρώμενα κάλλη, ἀθλήσει ὑπερλάμπουσα.

Ὅλην σεαυτὴν τῷ Θεῷ προσενήνοχας, ἐρύθημα παρθενίας, ταῖς βαφαῖς τῶν αἱμάτων τὸ πρότερον τελέσασα.



Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ᾿ ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Ἀνδρεῖον ἐν γυναικείῳ σώματι φρόνημα, ἀναλαβοῦσα πρὸς πάλην, ἐπεξῆλθες, Κυριακή, κατὰ τῶν τυραννούντων· καὶ ῥομφαίᾳ ὑπομονῆς αὐτοὺς ἐθανάτωσας.

Εἰσέτι σταζομένη τῷ αἵματι, πάνσεμνε, τῷ σῷ νυμφίῳ παρέστης, καλλοναῖς παντοίαις ὡραϊσμένη, καὶ τῇ τούτου εἰς ἀεὶ ἐντρυφᾷς ὡραιότητι.

Ἔρωτι τετρωμένη τῷ θείῳ ἐκραύγαζες· Χριστὸν ἐπείγομαι φθάσαι, τὸν ὡραῖον κάλλει· ὅθεν βασάνους ὑπομένω, ἀκλινεῖ γηθομένη φρονήματι.

Θεοτοκίον.

Ὢ θαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἡ μάρτυς Χριστοῦ, ἡμᾶς συνεκαλέσατο, τοὺς ἄθλους αὐτῆς τοὺς θείους καὶ παλαίσματα, ἐγκωμιάσαι νῦν φερωνύμως αὕτη γὰρ πέφηνεν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὡς ἀνδρεία τῷ φρονήματι, κυρία νοός τε καὶ παθῶν ἀπρεπῶν.

**Ὁ οἶκος.**

Τῆς τῶν εἰδώλων πλάνης κρατούσης ἀνὰ πᾶσαν τὴν γῆν, καὶ περιπολούσης, φιλόχριστοι, Μέδοντός τε δυσεβοῦς καὶ ἀπανθρώπου ὄντος παρὰ πάντας ἀνθρώπους, προσεκυνεῖτο ἡ τῶν ἀθέων μιαρὰ καὶ δυσώνυμος αἵρεσις· τῇ τούτου γὰρ ἀθεωτάτῃ φωνῇ τὰ πλήθη ὑπήκουσεν, ὡς τοὺς μὴ εἴκοντας τῇ αὐτοῦ ἀσεβείᾳ θάνατον ἀπειλῆσαι σφοδρόν τε καὶ δύσμορον· Ἀλλ' ἡ μάρτυς Χριστοῦ, τὰς τῶν τυράννων ἀθέους προσταγάς τε καὶ ἀπειλὰς καταπτύσασα, καὶ Χριστὸν τὸν Θεὸν ἐν μέσῳ τοῦ σταδίου κηρύξασα, τὸν ἐχθρὸν κατεπάτησεν. Ὅθεν ὤφθη ἀληθῶς κυρία νοός τε καὶ παθῶν ἀπρεπῶν.

*Τῷ αὐτῷ μηνὶ Ζ΄. Τῆς ἁγίας μεγαλομάρτυρος καὶ ἀθλοφόρου τοῦ Χριστοῦ Κυριακῆς.*

**Στιχ. Κυριακὴ θανοῦσα, τὴν τομὴν φθάνει προαιρέσει, πλὴν καὶ τελειοῦται ξίφει.**

Κατὰ τοὺς χρόνους τοῦ Βασιλέως Διοκλητιανοῦ ἐν ἔτει σπβ΄. ἦτον ἀνδρόγυνόν τι Χριστιανικὸν Δωρόθεος καὶ Εὐσεβία ὀνομαζόμενον, οἵτινες ἐπειδὴ ἦσαν ἄτεκνοι παρεκάλουν τὸν Θεὸν νὰ τοῖς χαρίσῃ τέκνον, ὑποσχόμενοι νὰ χαρίσουν πάλιν τὸ γεννηθὲν παιδίον εἰς αὐτόν. Ὅθεν ὑπήκουσεν ὁ Θεὸς τῆς δεήσεως αὐτῶν, καὶ ἐγέννησαν παιδίον θηλυκὸν ἐν ἡμέρᾳ Κυριακῇ· διὸ καὶ ὠνόμασαν αὐτὸ Κυριακήν, τὴν ὁποίαν βαπτίσαντες, ἀνέθρεψαν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου κατὰ τὸν ἀπόστολον, καὶ ἐφύλαττον αὐτὴν Παρθένον, ἐπειδὴ ἔμελλον νὰ τὴν ἀφιερώσωσιν εἰς τὸν Θεόν. Ὅταν δὲ ὁ δυσεβὴς Διοκλητιανὸς ἐκίνησε διωγμὸν κατὰ τῶν Χριστιανῶν, τότε παρεδόθησαν οἱ γονεῖς τῆς ἁγίας μὲ αὐτὴν εἰς τὸν τύραννον· ὁ ὁποῖος ἀνακρίνας, τοὺς μὲν γονεῖς τῆς ἁγίας ἔδειρε, καὶ ἔστειλεν αὐτοὺς εἰς τὸν Δοῦκαν Ἰοῦστον, τὸν εὑρισκόμενον κατὰ τὰ μέρη τῆς ἐν τῇ μικρᾷ Ἀρμενίᾳ Μελιτινῆς, ἥτις κοινῶς Μαλατιὰ ὀνομάζεται· τὴν δὲ Κυριακὴν ἀπέστειλεν εἰς τὸν Καίσαρα Μαξιμιανὸν τὸν εὑρισκόμενον εἰς τὴν Νικομήδειαν. Ὁ Μαξιμιανὸς λοιπὸν ἀνακρίνας τὴν μάρτυρα καὶ εὑρὼν αὐτὴν στερεὰν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, τὴν ἔρριψε κατὰ γῆς καὶ τὴν ἔδειρεν ἐπὶ πολλὰς ὥρας. Ἐπειδὴ δὲ ἡ ἁγία προσηύχετο, διὰ τοῦτο ἐθυμώνετο ὁ τύραννος κατὰ τῶν στρατιωτῶν τῶν βασανιζόντων τὴν μάρτυρα. Τότε ἡ ἁγία λέγει πρὸς τὸν Μαξιμιανόν· μὴ πλανᾶσαι, ὦ Μαξιμιανὲ, ποτὲ δὲν θέλεις μὲ νικήσε', τοῦ Θεοῦ βοηθοῦντος μοι. Διὰ τοῦτο καὶ ὁ Μαξιμιανὸς ἀποκαμών, ἔπεμψε τὴν ἁγίαν εἰς τὸν ἄρχοντα τῆς Βιθυνίας, Ἱλαριανὸν ὀνόματι. Ὁ δὲ Ἱλαριανὸς ἀνακρίνας τὴν μάρτυρα, ἔμβασεν αὐτὴν μέσα εἰς τὸν ναὸν τῶν εἰδώλων. Ἐκεῖ δὲ προσευχηθείσης τῆς Ἁγίας, ἔγεινε μεγάλος σεισμὸς, ἀπὸ τὸν ὁποῖον ἐκρημνίσθησαν τὰ εἴδωλα καὶ ἔγιναν ὡσὰν κονιορτός. Ἐπηκολούθησε δὲ πρὸς τούτοις ἀνεμοστρόβιλός τις, ὅστις ἐσκόρπισεν εἰς τὸν ἀέρα τὸν κονιορτὸν τῶν εἰδώλων, ἀστραπὴ δὲ ἐπιπεσοῦσα, κατέκαυσε τὸ πρόσωπον τοῦ ἄρχοντος Ἱλαριανοῦ. Ὅθεν ἐκεῖνος κρημνισθεὶς ἀπὸ τὸν θρόνον του ἐξεψυξεν. Ἐλθὼν δὲ ἄλλος ἄρχων διάδοχος ἐκείνου, καὶ μαθὼν ταῦτα, κατεδίκασε νὰ καῇ ἡ Ἁγία εἰς τὸ πῦρ. Καὶ ἤναψαν οἱ ὑπηρέται πυρκαϊὰν μεγάλην, καὶ ἔσπρωξαν τὴν μάρτυρα μέσα εἰς αὐτήν. Ἡ δὲ ἁγία σηκώσασα τὰς χεῖρας εἰς τὸν οὐρανὸν, προσευχήθη τῷ Θεῷ ἐπὶ πολύ. Ὅθεν μολονότι ἦτο καιρὸς εὔδιος, κατέβη ὅμως σύννεφον ἀπὸ τὸν οὐρανὸν, καὶ ἔσβυσεν ὅλην τὴν φωτιὰν, χωρὶς νὰ βλαφθῇ ἡ μάρτυς τελείως ἀπ' αὐτήν. Μετὰ ταῦτα ἀφῆκεν ὁ τύραννος διάφορα θηρία ἐναντίον τῆς ἁγίας, ἀλλ' ὅμως δὲν κατώρθωσε τίποτε, ἐπειδὴ καὶ τὰ θηρία ἐκυλίοντο ὡς ἀρνία ἥμερα εἰς τοὺς πόδας τῆς ἁγίας χωρὶς ποσῶς νὰ τὴν βλάψωσιν. Ὅθεν βλέποντες πολλοὶ Ἕλληνες τὸ παράδοξον αὐτὸ θαῦμα, ἐπίστευσαν εἰς τὸν Χριστόν· ἔπειτα ἐβλήθη ἡ μάρτυς εἰς τὴν φυλακήν· καὶ τὴν ἐρχομένην ἡμέραν ἐκάθισεν ὁ ἄρχων εἰς τὸ βῆμα καὶ ἔδωκε κατὰ τῆς ἁγίας τὴν τοῦ θανάτου τελευταίαν ἀπόφασιν. Ὅθεν οἱ δήμιοι ἤγαγον αὐτὴν ἔξω τῆς πόλεως διὰ νὰ τὴν ἀ-

ποκεφαλίσουν. Ἡ δὲ ἁγία ἐζήτησε καιρὸν, ἵνα προσευχηθῇ. Καὶ προσευχηθεῖσα ἐπὶ πολλὰς ὥρας, ἐδίδαξε τοὺς ἀκολουθήσαντας αὐτὴν Χριστιανούς. Εἶτα πλαγιάσασα εἰς τὴν γῆν, παρέδωκε τὴν ψυχήν της εἰς χεῖρας Θεοῦ. Ἐλθόντες δὲ πρὸς αὐτὴν οἱ στρατιῶται οἱ μέλλοντες νὰ τὴν ἀποκεφαλίσωσι, καθὼς τὴν εἶδον νεκρὰν ἐξέστησαν. Ἠκούσθη δὲ καὶ θεία φωνὴ εἰς αὐτοὺς λέγουσα· «πορεύεσθε ἀδελφοὶ, καὶ διηγεῖσθε εἰς ὅλους τὰ μεγαλεῖα τοῦ Θεοῦ». Οἱ δὲ στρατιῶται γυρίσαντες ἐδόξασαν τὸν Θεόν. (Τὸν κατὰ πλάτος βίον αὐτῆς, ὅρα εἰς τὸν Νέον θησαυρόν·) ἧς ταῖς πρεσβείαις ἀξιωθείημεν καὶ ἡμεῖς τῆς οὐρανῶν βασιλείας. Ἀμήν.

*Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐν θαύμασι μεγίστου* **Θωμᾶ τοῦ ἐν Μαλεῷ.**

«Διεὶς πτέρυγας, εἶπεν ἂν Μωσῆς, πάτερ, ὡς ἀετός τις ἐξανέπτης πρὸς πόλον.
»Ἑβδομάτῃ Θωμᾶν θάνατος μέλας ἔμφρονα εἷλεν.»

*Ὁ Ἅγιος ἱερομάρτυς* **Εὐστάθιος** *πυρὶ τελειοῦται.*

«Πρὸς εὐστάθειαν καρδίας Εὐσταθίου, «καὶ πῦρ συρίζον ἠρεμοῦν ὤφθη ὕδωρ.»

*Ὁ Ἅγιος* **Πολύκαρπος** *ὁ νέος μαχαίρᾳ τελειοῦται.*

«Οὕτως ὄναιο σῶν, σφαγεῦ, θελημάτων σφάττειν τάχει με τὸν Πολύκαρπον θέλων.»

*Ὁ Ἅγιος μάρτυς* **Εὐάγγελος** *ξίφει τελειοῦται.*

«Εὐάγγελος τὸ θεῖον ἐκ ξίφους τέλος· Εὐαγγελισμὸν εἶχε τοῦ θείου στέφους.»

*Μνήμη τῶν ἁγίων μαρτύρων* **Περεγρίνου καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου, Παππίου, Σατορνίνου καὶ Γερμανοῦ.**

«Σὺν ἓξ κατῆλθεν εἰς βυθὸν Περεγρῖνος, ἀθλήσεως ἐκεῖθεν ἀγρεύσων στέφος.»

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

**Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.**

Μετὰ παρθένων, λαμπαδηφόρος εἰς οὐράνια, πέλεις τοῦ πυρός, λαμπάδας καρτερικῶς ἐν τῷ ψάλλειν ὑπομείνασα· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.



Σαυτῷ νυμφίῳ, καθάπερ προῖκα προσήγαγες δῆμον καὶ λαὸν πιστεύσαντα εἰς Χριστόν, τὴν τῆς πλάνης ἀμαυρότητα, ταῖς φωτοβόλοις σου, θαυματουργίαις ἐναποκρούουσα.

Οὐ δειλιῶσα, ἀνδρειοφρόνως μᾶλλον δὲ πάνσεμνε, Κυριακή, τῇ πυρᾷ προσέρχῃ, ἀναψυχὴν αἰσθομένη καὶ κράζουσα· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

**Θεοτοκίον.**

Τὸ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, Χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

**Ὠδὴ Η'. Χεῖρας ἐκπετάσας.**

Ὡραία ἐν κάλλεσι τῶν σῶν, στιγμάτων γέγονας, καὶ κατηγγύησας Παρθένος ἄφθορος μένουσα τῷ νυμφίῳ λόγῳ πάνσεμνε, τῷ ἐκ Παρθένου δι' ἡμᾶς σεσαρκωμένῳ Θεῷ, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Δίς.

Οἰκεῖς μετ' Ἀγγέλων ἐν φωτί, Παρθένων τάγμασι, δήμοις μαρτύρων τε, συνεορτάζουσα, πρόσωπον ἀτενίζουσα πρὸς πρόσωπον, καὶ θεωροῦσα καὶ λαμπρᾶς δόξης μετέχουσα, καὶ βοῶσα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

**Θεοτοκίον,**

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς θεότητος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γέγονας ἐνδιαίτημα, πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. Ὅθεν πάντες σὲ εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

**Ὠδὴ Θ΄. Λίθος ἀχειρότμητος.**

Ὡς περικαλλὴς καὶ ὡραία, καὶ περιδέξιος παρθένος, ὡς ἀκαταγώνιστος μάρτυς, καὶ τοῦ Δεσπότου νύμφη Πανάμωμος, χρυσοειδέσι πτέρυξι, πρὸς τὰ οὐράνια ἀνεπέτασας.

Σὲ τὴν νοητὴν χελιδόνα, καὶ ἀδιάφθορον τρυγόνα, καὶ περιστεράν, κεχρυσωμένας τῷ μαρτυρίῳ ἔχουσαν πτέρυγας, καὶ πρὸς Θεὸν πετάσασαν, καὶ καταπαύσασαν, γεραίρομεν.

Ἔνδον τῆς ἀφθάρτου παστάδος, κατασκηνώσασα, θεόφρων, ταῖς ἐκπεμπομέναις ἀστραπαῖς, τοῦ σοῦ νυμφίου φαιδρυνομένη ἀεί, ὑπὲρ ἡμῶν ἱκέτευε τῶν εὐσεβῶς ἀνευφημούντων σε.

**Θεοτοκίον.**

Ἵνα σὲ δοξάζω Παρθένε, τὴν ἀληθῶς δεδοξασμένην, πάσης ἀδοξίας με ῥῦσαι καὶ ἁμαρτίας καὶ δόξης μέτοχον ἐπουρανίου ποίησον τὸν προσφυγόντα τῷ ἐλέει σου.

**Ἐξαποστειλάρια. Τῶν μαθητῶν ὁρώντων σε.**

Κυριακὴν τὴν μάρτυρα καὶ Παρθένον, ᾠδαῖς ἐναρμονίοις ἀνευφημοῦμεν· αὕτη γὰρ ηὐλόγησε τοῦ σώματος, καθὰ φθείρεσθαι μέλλοντος, πολλὰς βασάνους ἐνέγκασα, διὰ Χριστοῦ τὴν ἀγάπην.



**Θεοτοκίον.**

Πανευαγὴς παντάνασσα ἱκεσίαις, τῆς ἀθλοφόρου σου Κυριακῆς, φύλαττε τὴν ποίμνην σου ἀπρόσψαυστον, πάσης ἐναντιότητος, διά παντός σε ὑμνοῦσαν τὴν προστασίαν τοῦ κόσμου.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στιχ. δ΄. ἦχος α΄.**
**Τῶν οὐρανίων ταγμάτων.**

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, τῇ μνήμῃ τῆς ἐνδόξου καὶ σεπτῆς ἀθλοφόρου· Κυριακὴ γὰρ ἡ μάρτυς πάντας ἡμᾶς, συνεκάλεσε σήμερον, εἰς εὐωχίαν ἀθάνατον τὰς αὐτῆς ἀριστείας παραθέμενοι. δίς.

Τὴν ἱεράν σου εἰκόνα κατασπαζόμεθα, νῦν αἰσθητῶς ἁγία, νοερῶς δὲ τὰ θεῖα, λείψανά σου πάντες ἀπὸ ψυχῆς, προσκυνοῦμεν, Κυριακή, ἐκδυσωποῦντες βλάβης παντοδαπῆς, καὶ κινδύνου ἡμᾶς ῥύεσθαι.

Κυριακῆς τῆς Παρθένου, δεῦτε συνέλθωμεν, ἐν τῷ ναῷ τῷ θείῳ καὶ αὐτῆς τὴν εἰκόνα, τὴν πάνσεπτον σὺν φόβῳ καὶ χαρμονῇ, προσκυνήσωμεν ἅπαντες, καθικετεύοντες ταύτην πάσης ὀργῆς, καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι.

**Δόξα, ἦχος πλ. β΄.**

Δεῦτε τῆς Δημητσάνης ὁ λαός, συναθροισθέντες σήμερον ἐν τῷ πανσέπτῳ Ναῷ τῆς παρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θενομάρτυρος, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, ψαλμικῶς ᾄδοντες ἐναρμόνιον μέλος, τῷ ταύτην δοξάσαντι Χριστῷ τῷ Θεῷ, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει πρὸς αὐτὴν ἀναβοήσωμεν· χαίροις ἀθλοφόρε ἔνδοξε, ἡ ὀφθεῖσα θαυμαστὴ μάρτυς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· χαίροις ἀμνὰς ἄφθορε, ἡ τὴν γυναικείαν ἀσθένειαν ἀποῤῥιψαμένη, καὶ ἀνδρικῶς ἀγωνισαμένη· χαίροις Κυριακὴ πανεύφημε, ἡ πρὸς ὕψος ὡς περιστερὰ ἀναπτᾶσα τῆς τοῦ Ἁγίου πνεύματος πτεροῖς· καὶ πρὸς τὸν οὐράνιόν σου πατέρα καταπαύσασα, πρέσβευε αὐτῷ, ἀπὸ πάσης προσβολῆς καὶ περιστάσεως λυτρώσασθαι τοὺς πιστῶς ἐκτελοῦντας τὴν πανέορτον μνήμην σου.

**Καὶ νῦν. Θεοτόκε σὺ ἡ ἄμπελος.**

**Δοξολογία μεγάλη.**

**Εἰς τὴν λειτουργίαν, τυπικά, Μακαρισμοί, τὴν Γ΄. καὶ ΣΓ΄. ᾠδὴν τοῦ κανόνος τῆς Ἁγίας. Ἀπόστολον καὶ Εὐαγγέλιον** *ζήτει τῆς Ἁγίας Βαρβάρας.* **Κοινωνικὸν, Εἰς μνημόσυνον.**

**Μεγαλυνάριον.**

Ἔχοντες ναόν σου τὸν ἱερόν, Κυριακὴ ἀθλοφόρε, ὡς προπύργιον ὀχυρόν, προσφεύγομεν ἐν τούτῳ, καιρῷ τῷ τῆς ἀνάγκης, καὶ ἐπηρείας πάσης αὐτῷ λυτρούμεθα.

ΤΕΛΟΣ

